ἄφαρκτος φίλων·
ἐγὼ δ' ὁ πάντα κωφός, ὁ πάντ' ἄιδρις,
κατημέλησα. πᾷ πᾷ
κεῖται ὁ δυστράπελος δυσώνυμος Αἴας;

Τε. οὔτοι θεατός· ἀλλά νιν περιπτυχεῖ
φάρει καλύψω τῷδε παμπήδην, ἐπεὶ
οὐδεὶς ἄν, ὅστις καὶ φίλος, τλαίη βλέπειν
φυσῶντ' ἄνω πρὸς ῥῖνας ἔκ τε φοινίας
πληγῆς μελανθὲν αἷμ' ἀπ' οἰκείας σφαγῆς.
οἴμοι, τί δράσω; τίς σε βαστάσει φίλων;
ποῦ Τεῦκρος; ὡς ἀκμαῖ' ἄν, εἰ βαίη, μόλοι
πεπτῶτ' ἀδελφὸν τόνδε συγκαθαρμόσαι.
ὦ δύσμορ' Αἴας, οἷος ὢν οἵως ἔχεις,
ὡς καὶ παρ' ἐχθροῖς ἄξιος θρήνων τυχεῖν.

Χο. ἔμελλες, τάλας, ἔμελλες χρόνῳ ἀντ.
στερεόφρων ἄρ' ἐξανύσσειν κακὰν
μοῖραν ἀπειρεσίων
πόνων. τοῖά μοι
πάννυχα καὶ φαέθοντ'
ἀνεστέναζες ὠμόφρων
ἐχθοδόπ' Ἀτρείδαις
οὐλίῳ σὺν πάθει.
μέγας ἄρ' ἦν ἐκεῖνος ἄρχων χρόνος
πημάτων, ἦμος ἀριστόχειρ
. . . ὅπλων ἔκειτ' ἀγὼν πέρι.

910 ἄφαρκτος Dindorf: ἄφρακτος codd. 912 πᾶι πᾶ L: πᾶ πᾶ rec 914 ὁ δυσώνυμος L A rec 920 βαστάσει rec: βαστάσῃ L A rec 921 ἀκμαῖ' ἄν Wakefield: ἀκμαῖος L (σ a m. rec.) A rec: ἀκμαίως Trin 923 Αἶαν Suid. vv. οἷος et ὦ δύσμορε 924 ἐχθρῶν Mosq b 926 στερεόφρον rec ἐξανύσσειν L rec: ἐξανύσειν A rec: ⟨ὧδ'⟩ ἐξανύσειν Erfurdt 930 ⟨ἄναξ⟩ ἀνεστέναζες Elmsley ὠμόφρον rec 936 lacunam suppleverunt alii aliud scribendo velut Ἀχιλλέως Triclinius (T σ): Ἀχιλλέος (sscr. ω) Vat a: χρυσοδέτων Musgrave: ἐν Δαναοῖς Elmsley